ἀρθρ. ϛιχ.

ἢ συνθέτοις πλείςοισι κἂν ἀκαιρίᾳ (δ)·
ἐν γὰρ πεπασμῷ πᾶν τὸ τῆς ἐγκαιρίας,
ἐν ᾧ 'ςι ῥᾷον εὐφορώτερόν τ' ἄγειν
ὀργῶντα χυμὸν· δεινὸν ἐν δ' ἀπεψίᾳ, λϛ. 776
ἐν ᾗ βέβηκε πᾶν τὸ τῆς ἀκαιρίας (ε).
οὐ τὰς κατοξείας δὲ τῶν νόσων μόνας
κυρεῖν πεπασμῶν, ἀλλὰ καὶ τὰς ἐν χρόνῳ,
ὧν καὶ τελεῖσθαι τὰς λύσεις ὡρισμένοις
καιροῖς πεπασμῶν, ἴσμεν ἐκ πείρας ἅλις,
Ἱπποκράτει τ' ἄριςα πρόσθεν ἐῤῥέθη (ζ)·
ἃς κἂν ἀκοῖτο ῥᾷον ἐν τούτοισί τις,
ἤπερ παρ' αὐτοὺς ἀδρότητι φαρμάκων.

Μϛ. Καὶ μὴν ἀκεσμοῖς συγχέας τις τὴν φύσιν,
κινήσεων δὴ κἀντερείσεως σθένος,
καὶ τοῖσδ' ἀκαίρως ἀκρατῶς τ' εἰλημμένοις, μαι. 877
κἀσυμφόροις μὲν, ἀφθόνοις δὲ φαρμάκοις,
νόσων πεπασμοὺς ῥᾷς' ἀφεῖλε καιρίους,
ῥοπάς θ' ἁπάσας συμπαρέτρεψ' ἐν τάχει,
κρίσεις τ' ἐπέσχε τὰς ὀνησίμους ἄγαν (η),
καὶ δὴ νόσημ' ἤνεγκε μακρὸν, ἢ πλέον

τοῦ

---

(δ) Περὶ νούσων Α. α' δ. ἀρχ. Ἰητρικ. ιη. λδ. λε. ἀφορ. Α. κβ. χυμ. Α. γ. ἐπιδ. Ε. κε. Ζ. λβ. (ε) Γαλην. περὶ κρισίμ. ἡμερ. γ. (ζ) περὶ φύσιος ἀνθρ. ιζ. ἀφορ. Γ. κη. ἐπιδημ. Γ. γ. ϛ. ε. Γαλην. περὶ κρισίμ. ἡμερ. Β. ια. (η) περὶ κρισ. ἡμερ. Α. ια. Ἀλεξ. Τραλλ. η. ζ. θ.